ταῦθα, καὶ νῦν τρίτῳ ἤδη μηνὶ ἐξέτεκεν αὐτὸ, καὶ μαλακῶς ἀπὸ τῶν ὠδίνων ἔχει.

ΠΟΣ. Νῦν οὖν ποῦ τὸ βρέφος ἐστίν;

ΕΡΜ. Ἐς τὴν Νύσσαν ἀποκομίσας παρέδωκα ταῖς Νύμφαις ἀνατρέφειν, Διόνυσον ἐπονομασθέντα.

ΠΟΣ. Ὀυκοῦν ἀμφότερα, τοῦ Διονύσου τούτου καὶ μήτηρ καὶ πατὴρ ὁδέ ἐστιν;

ΕΡΜ. Ἔοικεν· ἄπειμι δ'οὖν ὕδωρ αὐτῷ πρὸς τὸ τραῦμα οἴσων, καὶ τ'ἄλλα ποιήσων, ὅσ'ἂν νομίζηται ὥσπερ λεχοῖ.

## ΔΙΑΛ. Θ (Κ).

## ΕΡΜΟΥ ΚΑΙ ΗΛΙΟΥ.

ΕΡΜ. Ὦ Ἥλιε, μὴ ἐλάσῃς τήμερον, ὁ Ζεὺς φησι, μηδὲ ἄυριον, μηδ' ἐς τρίτην ἡμέραν, ἀλλ' ἔνδον μένε· καὶ τὸ μεταξὺ μία τις ἔστω νὺξ μακρὰ, ὥστε λυέτωσαν μὲν αἱ Ὧραι αὖθις τοὺς ἵππους, σὺ δὲ σβέσον τὸ πῦρ, καὶ ἀνάπαυε διὰ μακροῦ σεαυτόν.

ΗΛ. Καινὰ ταῦτα, ὦ Ἑρμῆ, καὶ ἀλλόκοτα ἥκεις παραγγέλλων. ἀλλὰ μὴ παραβαίνειν τι ἔδοξα 1) ἐν τῷ δρόμῳ, καὶ ἔξω ἐλάσαι τῶν ὅρων, κ'ᾆτά μοι ἄχθεται, καὶ τὴν νύκτα τριπλασίαν τῆς ἡμέρας ποιῆσαι διέγνωκεν;

ΕΡΜ.

1) μη παραβ. τι εδοξα-) Veretur, ne in curru regendo peccarit, ut filius olim.